UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Dositheo Cœnobiarchæ. 392.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἀναφθῆναι σπουδάζοντα. ἀλλὰ τοῖς λόγοις τῷ λογικῷ προσκαρτερεῖν παραχώρησον. ἐκείνην δὲ τὴν ἀξίαν, ἢ μᾶλλον τιμωρίαν, ἄλλοις τισὶν ἀγύρταις προξένει, οἷς ἡ κοινὴ συνήρμοσται ἀλογία.

Δομεστίῳ ἰατρῷ. τϛα.

Τέχνην ἐπαγγέλλῃ φιλόσοφον, γνώμην δὲ μετέρχῃ κακόχολον, μικρὰ θεραπεύων τραυμάτια, μεγάλα δὲ νοσῶν ἐξελκώματα. εἰ τοίνυν ἰατρὸς βούλει φανῆναι τῷ πράγματι, σαυτοῦ τὸν τρόπον θεράπευσον. ψυχρὸν γὰρ καὶ γελοῖον καὶ ἄχαρι, ἄλλους πειρᾶσθαι ἰᾶσθαι, ἑαυτὸν δὲ παρορᾶν ἀσθενοῦντα.

Δοσιθέῳ ἀρχιμανδρίτῃ. τϛβ.

Αἱ τῶν βρωμάτων διακονίαι πολλοῖς ὑπῆρξαν αἴτιαι γαστριμαργίας. οὐ πάντες γὰρ νηφόντως προσέρχονται τῷ ἀγῶνι. τὸν ἀδελφὸν οὖν Ἀμβρόσιον ἀπόστησον τῆς τῶν ξένων ὑπηρεσίας, μὴ ξενώσῃς αὐτὸν σαυτοῦ δι' ἐκείνης.

Κυρίλλῳ. τϛγ.

Ἡ τοῦ πρώτου θαύματος ποίησις, ἁπλῆ τῷ κυρίῳ οὐ γέγονεν. εἰ γὰρ καὶ τῷ γάμῳ τὴν χεῖαν παρέχετο, ἀλλὰ
χρε. καὶ τῷ νόμῳ τὸ λεῖπον ἐπλήρωσεν. ἐπειδὴ γὰρ ἐκεῖνος ἐν ὕδασι μόνον ἐβάπτιζεν, αὐτὸς τῷ οἰκείῳ αἵματι ἐτελείωσε, κιρνῶν ἐν ἑαυτῷ τὰ ἀμφότερα, καὶ ἑνῶν τὸν νόμον τῇ χάριτι.

Ἐκδικίῳ. τϛδ.

Οἱ βόες μὴ κημούμενοι προθυμότερον τὸν ἄμητον κατεργάζονται· τῶν δὲ πόνων μετέχειν κωλυόμενοι, ἀργοῦσι καὶ ἀποτρέπονται. καὶ διδάσκαλοι ἀπειθείᾳ μὴ ὑβριζόμενοι, προ-

literarum ſtudiis aſſiduam operam dare permitte. Illam autem dignitatem, imò pœnam & cruciatum, aliis quibuſdam circulatoribus, quibus communis væcordia & literarum inſcitia connexa eſt, concilia.

*Domeſtio Medico. 391.*

Sapientem artem profiteris: animum autem malè feriatum geris: vt qui exigua quidem vulnera cures, ipſe autem ingentibus & grauibus vlceribus labores. Quocirca ſi reipſa medicum te præbere cupis, moribus tuis medere. Frigidum enim & ridiculum, atque illepidum eſt, aliis medicinam afferre conari, ſeipſum autem ægrotantem negligere.

*Doſitheo Cœnobiarchæ. 392.*

Ciborum miniſteria gulæ atque ingluuiei occaſionem multis accerſiuerũt. Neque enim omnes ſobrio ac vigilanti animo ad huiuſmodi certamen accedunt. Quamobrem ab hoſpitibus inſeruiendi munere Ambroſium fratrem remoue: ne per illud eum abs te remoueas.

*Cyrillo. 393.*

Primum illud miraculum quod à Domino editum eſt, non ſimpliciter ac ſine cauſa extitit. Quamuis enim nuptiis quoque, id quod opus erat, præbuit: tamen id etiã, quod Legi deerat, ſuppleuit. Quoniã nanque illa in aquis dũtaxat baptizabat, ipſe ſuo cruore initiationem ſacram perfecit, vtrunque in ſeipſo miſcens, ac Legẽ cum gratia copulans.

*Ecdicio. 394.*

Boues ij, quibus os camo non coërcetur, alacriùs meſſem conficiunt: qui autem laboribus ſuis frui prohibentur, ſegnitie torpent, ac laborem auerſantur. Eodem modo magiſtri, cùm per inobedientiam